τάς τε καλὰς φωνὰς ἀσπάζονται καὶ χρόας καὶ σχήματα καὶ πάντα τὰ ἐκ τῶν τοιούτων δημιουργούμενα, αὐτοῦ δὲ τοῦ καλοῦ ἀδύνατος αὐτῶν ἡ διάνοια τὴν φύσιν ἰδεῖν τε καὶ ἀσπάσασθαι. Ἔχει γὰρ οὖν δή, ἔφη, οὕτως. Οἱ δὲ δὴ ἐπ' αὐτὸ τὸ καλὸν δυνατοὶ ἰέναι τε καὶ ὁρᾶν καθ' αὑτὸ ἆρα οὐ σπάνιοι ἂν εἶεν; Καὶ μάλα. C
Ὁ οὖν καλὰ μὲν πράγματα νομίζων, αὐτὸ δὲ κάλλος μήτε νομίζων μήτε, ἄν τις ἡγῆται ἐπὶ τὴν γνῶσιν αὐτοῦ, δυνάμενος ἕπεσθαι, ὄναρ ἢ ὕπαρ δοκεῖ σοι ζῆν; σκόπει δέ. τὸ ὀνειρώττειν ἆρα οὐ τόδε ἐστὶν, ἐάν τ' ἐν ὕπνῳ τις ἐάν τε ἐγρηγορὼς τὸ ὅμοιόν τῳ μὴ ὅμοιον, ἀλλ' αὐτὸ ἡγῆται εἶναι ᾧ ἔοικεν; Ἐγὼ γοῦν ἂν, ἦ δ' ὅς, φαίην ὀνειρώττειν τὸν τοιοῦτον. Τί δέ; ὁ τἀναντία τούτων ἡγούμενός τέ τι αὐτὸ καλὸν καὶ δυνάμενος καθορᾶν καὶ αὐτὸ καὶ τὰ ἐκείνου μετέχοντα καὶ οὔτε D
τὰ μετέχοντα αὐτὸ οὔτε αὐτὸ τὰ μετέχοντα ἡγούμενος,

ἰδεῖν τε καὶ ἀσπάσασθαι] *attingere* Fic. τε *om.* Vind. D. — ἀσπάζεσθαι Vind. E.

ἐπ' αὐτὸ] ἐπαυτὸ Vind. F. ὑπ' αὐτὸ Mon. B.

καθ' αὑτὸ] καθ' ἑαυτὸ Lob. Vind. BD. Mon. B. Ang. B. Vat. M. καθεαυτὸ Vind. F.

ἆρα] ἄρα Lob. Vind. F. Flor. RU.

σπάνιοι] Prius ι Mon. B. int. vers. habet.

ἂν] *om.* Lob. Vind. BD. Mon. B. Par. DK. Vat. M.

C εἶεν] εὗεν Ald. οἶεν Bas. ab.

αὐτὸ δὲ κάλλος] αὐτο δὲ κάλλος Vind. B.

ἐπὶ τὴν γνῶσιν αὐτοῦ] „Possunt haec verba vel praecedentibus vel sequentibus iungi, eodem manente sensu.“ Steph. annot. p. 22. At ipsa verborum collocatio indicat, utris iungenda sint.

ὕπαρ δοκεῖ] ὕπαρδος κεῖ Vind. E.

δέ] *igitur* Fic. [δὲ sine interpunctione Ald. Bas. ab.

ἆρα] ἄρα Vind. F. Flor. ACV.

ἐάν τ'] ἐάν τε Lob. Vind. BDEF. Flor. ACRT.

τις] ἐστὶν Par. DK.

τε ἐγρηγορὼς] τε γρηγορῶς, corr. τ' ἐγρ. Vind. D. τε ἐγρηγόρως Vind. F.

τῳ μὴ] τὸ μὴ cum punctis sub τὸ Mon. B. μὴ τὸ Par. K.

ἡγῆται] ἡγεῖται Vind. BD. Flor. ACTV.

ᾧ] ὃ Vat. H.

Ἐγὼ γοῦν] ἐγὼ γ' οὖν Vind. EF. ἔγωγ' οὖν Lob. Vind. BD. Mon. B. (Florentini) cum editis ante Bekkerum, qui tacito Ἐγὼ γοῦν scripsit. Cf. Vol. I. p. 30.

τὸν] τὸ Par. K. sec. Bekk.

δέ] δ' Vind. BD. δὲ sine interpunctione Ald. Bas. ab.

ἡγούμενός τέ τι αὐτὸ καλὸν] ἡγούμενος. τί αὐτοκαλὸν Vind. BD. (hic αὐτὸ καλόν.) τε omittit etiam Vat. M. et αὐτοκαλὸν pro uno exhibet Vind. F. (*qui contra affectus est*) *intelligitque quid ipsum pulchrum* Fic.

καὶ οὔτε — ἡγούμενος] *om.* Vind. B. καὶ ante οὔτε *om.* Vind. DE. Vat. H. Flor. AC. D

ὕπαρ ἢ ὄναρ αὖ καὶ οὗτος δοκεῖ σοι ζῆν; Καὶ μάλα, ἔφη, ὕπαρ. Οὐκοῦν τούτου μὲν τὴν διάνοιαν ὡς γιγνώσκοντος γνώμην ἂν ὀρθῶς φαῖμεν εἶναι, τοῦ δὲ δόξαν ὡς δοξάζοντος; Πάνυ μὲν οὖν. Τί οὖν, ἐὰν ἡμῖν χαλεπαίνῃ οὗτος, ὅν φαμεν δοξάζειν, ἀλλ' οὐ γιγνώσκειν, καὶ ἀμφισβητῇ, ὡς οὐκ ἀληθῆ λέγομεν;
E ἔξομέν τι παραμυθεῖσθαι αὐτὸν καὶ πείθειν ἠρέμα ἐπικρυπτόμενοι, ὅτι οὐχ ὑγιαίνει; Δεῖ γέ τοι δὴ, ἔφη. Ἴθι δὴ, σκόπει, τί ἐροῦμεν πρὸς αὐτόν. ἢ βούλει ὧδε πυνθανώμεθα παρ' αὐτοῦ, λέγοντες, ὡς εἴ τι οἶδεν,

αὖ καὶ οὗτος] *om.* Fic.
μάλα] μάλ' Lob. Vind. BDF. Ang. B. Vat. M. Flor. R.
γιγνώσκοντος] γινώσκοντος Vind. E. γιγνώσκοντες Vind. B. Vat. M. γινώσκοντες cum ο super ε Vind. D.
γνώμην] Ita Vind. F. a m. pr. γνῶσιν Ang. B. Flor. T. et a m. rec. Vind. F.
τοῦ δὲ] τοῦδε Vind. F.
δοξάζοντος] δόξαντος Vind. D.
Τί οὖν] *om.* Fic.
χαλεπαίνῃ] χαλεπήνῃ editi ante Bekkerum, qui praesens ex Par. ADK. Vat. B. Ven. C. Vind. B. Mon. B. Ang. B. restituit. Idem est in Vind. DF. Flor. RU. χαλεπαίνειν habent Lob. Vat. M. χαλεπήνῃ Vind. E. et, ut videtur, Ven. B. Vat. H. de quibus Bekkerus nihil ostendit, cum Flor. ACTV.
γιγνώσκειν] γιν. Vind. DE. Flor. ACTV.
οὐκ ἀληθῆ] οὐκ ἄλλως Bas. b. οὐ καλῶς Lob. Vat. M. Vind. BD. (hic ἀληθῶς in m.)
λέγομεν;] Vulgo comma faciunt, quasi illud *Τί οὖν* etiam ad sequentia pertineat.
ἔξομέν] ἕξομέν Ald.
E καὶ πείθειν ἠρέμα ἐπικρυπτόμενοι] *sensimque et blande persuadebimus* Fic. In Vind. F. ἠ-ρέμα scriptum est. Cf. Vol. I. p. 350, b.
ὑγιαίνει] ὑγιαίνοι Vind. BD.
Ἴθι δὴ] δὴ *om.* Par. K.
σκόπει] σκοπῶμεν Lob. Vind. BD. (hic cum vulg. int. vers.) Mon. B. Vat. BM. Flor. U. σκοποῦμεν Ven. C. Par. DK.
ἢ βούλει] *si vis* Fic.
πυνθανώμεθα] πυνθανόμεθα Ven. B.
φθόνος] φθόνως Vind. E.
ἀλλ' ἄσμενοι ἂν ἴδοιμεν εἰδότα τι] *sed gratum erit nobis et ipsum scire aliquid et, quid sciat, novisse* Fic.
ἡμῖν] ὑμῖν Bas. ab.
εἰπὲ] εἶπε Vind. D. In Vind. B. post εἰπὲ comma, post τόδε vero ut in Ald. Bas. ab. nulla interpunctio est.
ὁ γιγνώσκων] ὁ γιν. Vind. DE. οὐ Lob. Vind. B. Mon. B. Vat. BM. Ven. C. Par. DK. Flor. U.
γιγνώσκει] γιν. Vind. DE. Mon. B. Par. K. sec. Bip. (γιγνώσκει sec. Bekk.) Ald. Bas. ab. γιγνώσκειν Lob. Vind. B. Vat. BM. γιγνώσκων cum ει super altero ω Ven. C. Par. D. Vulgatam tuetur Proclus in Civ. p. 424, 24: ἐπειδὴ δὲ ἀρχόμενος τοῦ περὶ αὐτῶν σκέμματος δύο πεποίηται ἐρωτήσεις, ἄξιόν τι καὶ περὶ τούτων φάναι. τὴν μὲν οὖν προτέραν τοιαύτην πεποίηται, εἰ πᾶς ὁ γιγνώσκων τὶ γιγνώσκει, ἢ οὐδέν. ἀντίφασις γὰρ τὸ τὶς καὶ τὸ οὐδεὶς, ὡς τὸ πᾶς καὶ τὸ οὐ πᾶς. λαβὼν δὲ, ὅτι γιγνώσκει τὶ πᾶς ὁ γιγνώσκων, ἠρώτησε πάλιν δευτέραν ἐρώτησιν, εἰ ὁ τὶ γιγνώσκων ὂν γιγνώσκει, ἢ καὶ μὴ ὄν· ὡς διαφέ-

οὐδεὶς αὐτῷ φθόνος, ἀλλ' ἄσμενοι ἂν ἴδοιμεν εἰδότα τι· ἀλλ' ἡμῖν εἰπὲ τόδε· ὁ γιγνώσκων γιγνώσκει τὶ, ἢ οὐδέν; σὺ οὖν μοι ὑπὲρ ἐκείνου ἀποκρίνου. Ἀποκρινοῦμαι, ἔφη, ὅτι γιγνώσκει τί. Πότερον ὂν, ἢ οὐκ ὄν; Ὄν· πῶς γὰρ ἂν μὴ ὄν γέ τι γνωσθείη; Ἱκανῶς 477
οὖν τοῦτο ἔχομεν, κἂν εἰ πλεοναχῇ σκοποῖμεν, ὅτι τὸ μὲν παντελῶς ὂν παντελῶς γνωστὸν, μὴ ὂν δὲ μηδαμῇ πάντη ἄγνωστον; Ἱκανώτατα. Εἶεν· εἰ δὲ δή τι οὕτως ἔχει, ὡς εἶναί τε καὶ μὴ εἶναι, οὐ μεταξὺ ἂν κέοιτο τοῦ εἰλικρινῶς ὄντος καὶ τοῦ αὖ μηδαμῇ ὄντος; Με-

ρουσαν ταύτην τῆς πρὸ αὐτῆς ποιησάμενος τὴν ἐρώτησιν. οὐ γὰρ ἂν, εἰ τὸ τὶ καὶ τὸ ὂν ταὐτὸν ἦν, καὶ τὸ οὐδὲν καὶ τὸ μὴ ὂν, εἶχε λόγον ἐρωτᾷν, εἰ ὁ τὶ γιγνώσκων ἢ ὂν ἢ μὴ ὂν γιγνώσκει. ταὐτὸν γὰρ ἦν ταῦτα ἐρωτᾷν καὶ εἰ ὁ τὶ γιγνώσκων γιγνώσκει τὶ, ἢ οὐδέν· ἃ δὴ πάντως ἄτοπα.

μοι] μοῖ Bas. b.

γιγνώσκει] γιν. Vind. DE. Mon. B. Ald. Bas. ab. οὐ γιγνώσκει Lob. Vind. B. Vat. M.

ὂν] οὐ Bas. a.

οὐκ ὄν; Ὄν·] οὐκ ὂν Par. K. οὐκ ὄν. Lob. Vind. B. Vat. M. οὐκ ὄν: Vind. D.

477 ὄν γέ] ὄν τέ Vind. E. οὔ γέ Ald. Bas. a.

οὖν] ἂν Vind. D. *om.* Fic.

κἂν εἰ] *si* Fic. Immo *etiamsi*. Cf. p. 473. A. et quae ibi adnotavi. Sensum loci minime obscurum bene declaravit Schleiermacherus: Astius et Stallbaumius caeci fuerunt.

πλεοναχῇ] πλειοναχῇ Ven. B. Vat. H. Flor. ACV.

σκοποῖμεν] σκοποῦμεν Ven. B. Par. K. sec. Bip. σκοπῶμεν Vind. B. et cum οῖ super ω D.

παντελῶς γνωστὸν] παντελῶς *om.* Vind. E.

μηδαμῇ] μηδαμή Vind. F. (μηδαμῆ editi ante Bekk.)

ἄγνωστον;] ἄγνωστον. editi ante Astii sec.

Ἱκανώτατα] ἱκανότατα Mon. B. Ald. Bas. ab.

Εἶεν] *om.* Fic.

ἔχει] ἔχεις Bas. b.

ἂν κέοιτο — Μεταξύ.] *om.* Vind. E.

εἱλικρινῶς] Ita Vind. BDF. Mon. B. Ald. εἰλικρινοῦς Par. K. sec. Bekk. εἰλικρινῶς Lob. Bas. ab. Steph. et recentiores, inter quos Bekkerus de aspero in Vind. B. Mon. B. h. l. et p. 478. D. E. 479. D. VIII. 549. B. et in Mon. B. (Lob. Vind. F.) Tim. p. 45. B. conspicuo tacens ne reliquorum quidem codicum hactenus rationem in his posterioribus libris videtur habuisse. Alibi quidem habuit et Symp. p. 211. E. εἰλικρινὲς in plerisque, Phaedon. p. 66. A. 1. εἰλικρινεῖ in Par. I. ib. 2. εἰλικρινὲς in Clarkiano, Phileb. p. 53. A. et 59. C. idem in Coisl. scriptum esse adnotavit, quibus omnibus locis etiam Lob. et altero Phaedonis Flor. I. asperum habet. Sed Lob. praeterea Phaedon. 81. B. εἰλικρινῆ, Symp. 181. C. εἰλικρινῶς, Phileb. 29. B. εἰλικρινὲς exhibet, mirum, si solus et ab omnibus, quos in his dialogis multo quam in Civitate praestantior liber comites habere solet, derelictus, quod Bekkeri et Stallbaumii silentio nondum credo. Tamen, ne quid dissimulem, Phaedon. p. 67. A. etiam in illo, et Tim. p. 45. B. in Vind. CCCXXXVII. εἰλικρινὲς legitur, ut vulgo Axioch. p. 370. C. Xenoph. Cyrop. VIII. 5, 14. Mem. II. 2, 3. Aristot. de anima L. III.

ταξύ. Οὐκοῦν ἐπὶ μὲν τῷ ὄντι γνῶσις ἦν, ἀγνωσία
B δ' ἐξ ἀνάγκης ἐπὶ μὴ ὄντι, ἐπὶ τῷ μεταξὺ δὲ τούτῳ μεταξύ τι καὶ ζητητέον ἀγνοίας τε καὶ ἐπιστήμης, εἴ τι τυγχάνει ὂν τοιοῦτον; Πάνυ μὲν οὖν. Ἆρ' οὖν λεγο-

p. 51, 27. Sylb. et εἰλικρινεῖται apud eundem de mundo cap. 5. pag. 15, 2. Atque usitatam aliquando hanc pronuntiationem fuisse compositum ἀπειλικρινεῖσθαι docet, quod ex Synesio citavit Matthaei Lect. Mosq. II. 79. a Creuzero ad Plotinum de pulchro p. 266. laudatus et Schneiderus in lexico. At nihilominus simplex aspirari potuit, ut εἱλεῖν et alia Buttmanno gramm. I. p. 76. et in addendis commemorata, quorum in compositis asperi ratio ne ab Atticis quidem habetur. Iam quum origo nominis, quo ante Platonem et Xenophontem qui usus sit non invenio, satis probabiliter ab εἵλη repetatur, qua de re cf. Etym. p. 298, 56. quem locum Rückertus ad Symp. p. 56. adhibuit, et Ruhnkenius ad Tim. pag. 264. εἰλικρινῶς non minus verum videtur, quam εἰλήσεων Vol. I. p. 197. et 276. Neque si cum Guyeto et Valckenario, quibus Stallbaumius ad Phaedon. p. 52. (Bibl. Gr. Vol. I. sect. II.) assentitur, a *volvendo* derivare malis, ut proprie volubili agitatione secretum atque adeo cribro purgatum significare statuatur, asperum repudiare cogaris. Nam εἱλεῖν Atticis non inusitatum fuisse constat. V. Buttmanni Lexilogus II. p. 157. 19. quem merito secutus est in tertia lexici editione Passovius in εἱλέω, recte idem nostro nomini utrumque spiritum attribuens.

μηδαμῇ] μηδαμὴ Vind. F.

ἐπὶ μὲν] εἰ ἐπὶ μὲν Mon. B. Flor. U. Stallbaumius, omissa in sequentibus post τῷ μεταξὺ particula δὲ, quam reliquorum quoque codicum pars maxima, Par. ADK. sec. Bip. Lob. Vind. EF. Ven. C. Flor. ACV. Vat. HM. et a m. pr. B. omittunt, alii, Ang. B. Flor. R. et per additamentum a m. pr. Vind. F. ante τῷ μεταξὺ ponunt, alii denique, Vind. BD. in ἄρα mutatam habent, ut duorum tantum, Ven. B. et Flor. T. et antiquarum editionum auctoritate niti videatur. Nam ne Ficinus quidem δὲ expressit: *circa id, quod est, cognitio ipsa versatur: ignoratio ex necessitate circa id quod non est. circa medium istorum medium quoddam investigandum, scientiam inter et ignorantiam, si quid huiusmodi reperitur.* Tamen haec quoque auctoritas multo potior illa, cui Stallbaumius paruit, ideoque lectio vulgata, quum semel ab eis, quos sequi solemus, codicibus discedere cogamur, illi quamvis per se probabili praeferenda. Commemorato illo inter id, quod est, et quod non est, interposito Socrates medium ei quoddam inter scientiam et inscientiam attributurus *an igitur*, inquit, *ita se res habet: extremis quidem extrema, ei, quod est, scientia, quod non est, necessario inscientia assignanda erat, medio vero medium inter utramque quaerendum est?* quorum posterius, quoniam priore efficiebatur, tamquam alteram eius partem affert et particula μὲν initio prioris innexa quasi praenuntiat. Quam particulam non posse ad δὲ post ἀγνωσία referri et alterum δὲ post alterum ἐπὶ requirere non contenderim: immo vulgatam lectionem et eam, quae in Vind. F. Ang. B. Flor. R. exstat, tali opinioni acceptam referendam videri posse sentio; verum pari certe iure licet εἰ pro interpolato habere; atque id, quod haud dubie in hac periodo excidit, post μεταξὺ potius, quam post οὐκοῦν excidisse varia librariorum circa illam

μέν τι δόξαν εἶναι; Πῶς γὰρ οὔ; Πότερον ἄλλην δύναμιν ἐπιστήμης, ἢ τὴν αὐτήν; Ἄλλην. Ἐπ' ἄλλῳ ἄρα τέτακται δόξα καὶ ἐπ' ἄλλῳ ἐπιστήμη, κατὰ τὴν δύναμιν ἑκατέρα τὴν αὑτῆς. Οὕτως. Οὐκοῦν ἐπιστήμη μὲν

partem tentamina persuadent, qui si nullam ibi lacunam invenissent, non illuc potissimum alii aliud supplementi caussa coniecissent.

ἦν] ἣν Vind. F. a m. pr.

δ'] δὲ Lob. Vind. BD.

ἐξ ἀνάγκης] ἐξᾶν. Lob. ἔξαν. Vind. BF. ἐξ ἀνάγκη Vind. E.

ἐπὶ μὴ] Ita Par. A. Lob. Vind. BF. Vat. BM. Ven. C. Ang. B. Flor. R. Reliqui codices cum editionibus τῷ interpositum habent, quod non magis necessarium, quam paullo ante in verbis μὴ ὂν δὲ μηδαμῇ post τὸ μὲν παντελῶς ὄν.

ὄντι] ὄντα Flor. R.

τῷ] τὸ Vind. E.

τούτῳ] Ita Par. AK. Lob. Vind. E. Vat. BHM. Ven. BC. Mon. B. Flor. ACTUV. Ald. Bas. ab. τούτων Vind. BDF. Flor. R. et, ut videtur, Par. D. Ang. B. cum Ficino, Stephano et Astio.

B τι] *om.* Ang. B.

καὶ] *om.* Lob. Vind. BD. Vat. BM.

τε] *om.* Vind. BD.

τι] post ὂν habent Ang. B. Flor. R. Vind. F. isque τί et int. vers. a m. s. additum.

τυγχάνει] τυγχάνοι Vind. BD. Par. K. sec. Bekk.

τοιοῦτον] τοιοῦτο Lob. Vind. BD. Vat. BM. τοιοῦτος, deleto per lineam directam ς, Mon. B. Signum interrogandi Bekkerus posuit.

Ἆρ'] ἄρ' Vind. F.

λέγομεν] post τι idem et Flor. R.

ἄλλην — τὴν αὐτήν] *eandem — diversam* Fic.

κατὰ τὴν δύναμιν ἑκατέρα τὴν αὑτῆς] Vulgo ante Astii secund. legebatur κατὰ τὴν αὐτὴν δύναμιν, ἢ κατὰ τὴν αὐτὴν δύναμιν ἑκατέρα τὴν αὑτῆς, quemadmodum scriptum est in Vind. E. Vat. H. (Flor. ACRTV.) lectumque a Ficino: *vel secundum potentiam eandem, vel secundum eandem utraque sui ipsius potentiam.* Astius in Par. K. et Bas. b. quatuor priora, in hac etiam quintum ἢ et antepenultimum ἑκατέρα omitti videns, κατὰ τὴν αὐτὴν δύναμιν ἑκατέρα τὴν αὑτῆς edidit, quam scripturam Bekkerus et Stallbaumius Par. A. Mon. B. Flor. U. auctoritate firmatam tenuerunt. Recte haud dubie, quod ad priora, Astius locum constituit, et verba κατὰ τὴν αὐτὴν δύναμιν etiam in reliquis novem codicibus, qui ἢ retinent (Ven. B. haec omnia omisit) desunt, sed quomodo potentia utriusvis propria *eadem* dici et τὴν αὐτὴν δύναμιν scribi a Platone potuerit, neque Astius docuit neque alius, opinor, docebit. Peropportune igitur accidit, quod αὐτὴν a Vind. F. abest, quod etiam de coniectura delendum erat, utpote ex vetere glossemate, quale vulgata ante Astium exhibebat, superstes. Fuerant enim qui male repetita nominis ἐπιστήμη littera extrema et responsione Glauconis inducti his verbis ἢ κατὰ τὴν δύναμιν ἑκατέρα τὴν αὑτῆς alteram *interrogationis* partem contineri statuentes priorem supplendam putarent atque ita κατὰ τὴν αὐτὴν δύναμιν in margine post ἐπιστήμη interpolarent, unde αὐτὴν etiam in eos codices immigravit, qui ἢ non receperunt. Unus autem ille, qui ab hoc errore immunis mansit, non solum ἢ cum plerisque, sed etiam καὶ post ἢ inter versus additum habet, quod in locum vitiosi ἢ substituendum alicui poterat videri. Ceterum pro τὴν post ἑκατέρα Lob. Vind. BD. Vat. BM. τῆς, pro αὑτῆς Lob.

ἐπὶ τῷ ὄντι πέφυκε, γνῶναι, ὡς ἔστι τὸ ὄν; μᾶλλον
δὲ ὧδέ μοι δοκεῖ πρότερον ἀναγκαῖον εἶναι διελέσθαι.
C *Πῶς; Φήσομεν δυνάμεις εἶναι γένος τι τῶν ὄντων, αἷς*
δὴ καὶ ἡμεῖς δυνάμεθα ἃ δυνάμεθα, καὶ ἄλλο πᾶν ὅτι-
περ ἂν δύνηται; οἷον λέγω ὄψιν καὶ ἀκοὴν τῶν δυνά-
μεων εἶναι, εἰ ἄρα μανθάνεις ὃ βούλομαι λέγειν τὸ εἶ-
δος. Ἀλλὰ μανθάνω, ἔφη. Ἄκουσον δὴ ὅ μοι φαίνε-
ται περὶ αὐτῶν. δυνάμεως γὰρ ἐγὼ οὔτε τινὰ χρόαν
ὁρῶ οὔτε σχῆμα οὔτε τι τῶν τοιούτων, οἷον καὶ ἄλλων
πολλῶν, πρὸς ἃ ἀποβλέπων ἔνια διορίζομαι παρ' ἐμαυ-
D *τῷ, τὰ μὲν ἄλλα εἶναι, τὰ δὲ ἄλλα· δυνάμεως δ' εἰς*
ἐκεῖνο μόνον βλέπω, ἐφ' ᾧ τέ ἐστι καὶ ὃ ἀπεργάζεται,
καὶ ταύτῃ ἑκάστην αὐτῶν δύναμιν ἐκάλεσα, καὶ τὴν
μὲν ἐπὶ τῷ αὐτῷ τεταγμένην καὶ τὸ αὐτὸ ἀπεργαζομέ-

Vind. BDF. Par. K. sec. Bip. et a m. pr. Mon. B. cum Ald. Bas. ab. *αὐτῆς* exhibent.

Οὕτως.] Ita Vind. DF. Flor. RT. Reliqui mei et Florentini cum editis ante Bekkerum *οὕτω*. Bekkerus, ut solet, tacet.

ἐπιστήμη] *ἐπιστήμης* editi ante Ast. sec. tacentibus de Par. K. Bip.

ἐπὶ] In Vind. F. *εἰ* super *ι* adscriptum.

γνῶναι] commate a praecedentibus cum Stallb. sec. distinxi. Cf. p. 478. A.

ἔστι] *ἐστι* Vind. D.

ὧδέ] *ὧδέ* Vind. F. *ᾧδέ* Bas. ab.

πρότερον] *πρῶτον* Par. K. secundum Bekkerum.

Πῶς;] sine interpunctione Vind. B.

C *γένος τι*] *γένος δὴ* Vind. E. Vat. H. Flor. ACTV.

ἃ δυνάμεθα] *om.* Lob. Vind. BF. Vat. BM. Ven. C. Par. DK. Mon. B. Flor. U.

ὅτιπερ] Vulgo in tria dividitur.

δύνηται;] *δύνηται.* Ald. Bas. ab. Steph. *δύνηται·* Astius pr. sec. *δύνηται,* Bekkerus, Ast. tert. et Stallb. quorum nihil ad *φήσομεν* aptum videtur.

ὃ βούλομαι λέγειν τὸ εἶδος] *quod loquor* Fic. Super *εἶδος* in Vind. F. *τὴν ἰδέαν αὐτὴν*, in Flor. R. *ἤγουν τὴν ἰδέαν αὐτὴν*, et paullo post super *δυνάμεως* in utroque *ἤγουν ἰδέας· ταύτην γὰρ καλεῖ δύναμιν* legitur. — Proclus in Civ. p. 417, 16: *δυνάμεως γάρ φησιν οὔτε χρόαν οὔτε σχῆμα ὁρᾶν.* Idem p. 425, 18: *δυνάμεως γάρ φησι μήτε σχῆμα μήτε χρῶμα ὁρᾶν.*

οὔτε σχῆμα] *οὔτέ τι σχ.* Vind. E.

οὔτε] *τέ οὔ* Bas. b.

οἷον] *οἵων* Lob. Vat. BH. Ven. BC. Par. DK. sec. Bekk. Ang. B. Flor. TUV.

ἀποβλέπων] *βλέπων* Ven. B. Vind. E. Vat. H. Flor. ACT.

δ' εἰς] *δὲ εἰς* Lob. Vind. BDF. D

τέ ἐστι] *τε ἔστι* Vind. F. Bekkerus, Ast. tert. et Stallb. Sed praepositionis maior hic vis est, quam verbi.

τῷ αὐτῷ] Ita Par. A. Vind. BD. Vat. BHM. Ven. C. *τὸ αὐτὸ* cum reliquis editisque ante Bekkerum Lob. sed utrique *ὸ* superscripto *ω*.

τεταγμένην] *τεταμένην* Vind. B. Vat. M. Flor. ACV. In Vind. D. *γ* int. vers. est.

καὶ τὸ αὐτὸ ἀπεργαζομένην]

νην τὴν αὐτὴν καλῶ, τὴν δὲ ἐπὶ ἑτέρῳ καὶ ἕτερον ἀπερ-
γαζομένην ἄλλην. τί δὲ σύ; πῶς ποιεῖς; Οὕτως, ἔφη.
Δεῦρο δὴ πάλιν, ἦν δ' ἐγὼ, ὦ ἄριστε. ἐπιστήμην πό-
τερον δύναμίν τινα φὴς εἶναι αὐτὴν, ἢ εἰς τί γένος
τίθης; Εἰς τοῦτο, ἔφη, πασῶν γε δυνάμεων ἐῤῥωμενε- E
στάτην. Τί δέ; δόξαν εἰς δύναμιν, ἢ εἰς ἄλλο εἶδος
οἴσομεν; Οὐδαμῶς, ἔφη· ᾧ γὰρ δοξάζειν δυνάμεθα, οὐκ
ἄλλο τι, ἢ δόξα ἐστίν. Ἀλλὰ μὲν δὴ ὀλίγον γε πρότε-
ρον ὡμολόγεις μὴ τὸ αὐτὸ εἶναι ἐπιστήμην τε καὶ δό-
ξαν. Πῶς γὰρ ἄν, ἔφη, τό γε ἀναμάρτητον τῷ μὴ
ἀναμαρτήτῳ ταὐτόν ποτέ τις νοῦν ἔχων τιθείη; Καλῶς,
ἦν δ' ἐγώ. καὶ δῆλον, ὅτι ἕτερον ἐπιστήμης δόξα ὁμο- 478
λογεῖται ἡμῖν. Ἕτερον. Ἐφ' ἑτέρῳ ἄρα ἕτερόν τι δυ-
ναμένη ἑκατέρα αὐτῶν πέφυκεν. Ἀνάγκη. Ἐπιστήμη μέν

om. Lob. Vind. B. Vat. M.

δὲ ἐπὶ] δ' ἐπὶ Vind. BDE. Vat. HM.

ἀπεργαζομένην] ἀπεργασομένην Vind. F. a m. pr.

ἄλλην] ἄλλον Lob. ante corr.

τινα] τινὰς Ald. τινὸς Bas. a.

φὴς] φῇς Vind. F. Cf. Vol. I. p. 42, a.

αὐτὴν] „negotium lectori facessere non debet, quum et alibi talis eius pleonasmus inveniatur." Steph. annot. p. 22. Cf. Heindorfius ad Gorg. §. 84. quamquam illorum locorum ratio eo diversa ab nostro est, quod nomen longius a pronomine remotum habent. Itaque post ἐπιστήμην paullisper subsistendum.

εἰς τί] εἴς τι Lob. Vind. B. εἰς τὶ Ald. Bas. ab. Steph. qui proinde εἰς τὶ γένος ἄλλο requirebat l. c. *an in genus aliud refers?* Fic.

τίθης] τιθῇς Vind. F.

Εἰς] εἰ Lob. Vind. B. Vat. M.

E τοῦτο] τοῦτ' Vind. D. (hic vulgatum in m. habet.) E. Vat. H. Flor. ACTV.

γε] *om.* Vind. E.

ἐῤῥωμενεστάτην] Mon. B. alterum ρ int. vers. a m. s. habet.

δέ] δαί Par. A. δὲ sine interpunctione Vind. BD. Ald. Bas. ab. Post δόξαν vero Vind. D. punctum, Ald. Bas. ab. cum Stephano comma habent.

οἴσομεν] θήσομεν Vind. BD. Vat. M. (*an aliud quiddam esse*) *dicemus?* Fic.

ᾧ] ὃ, sup. ὧ, Vind. D.

ἐστίν. Ἀλλὰ] ἐστὶν, ἀλλὰ Ald. Similiter paullo post δόξαν, πῶς etc.

ὀλίγον] ὀλίγω Mon. B. ὀλίγῳ Flor. U.

γε] τε Lob. Vind. B. Vat. M.

ὡμολόγεις] ὡμολογεῖς Bas. b.

τῷ μὴ ἀναμαρτήτῳ ταὐτόν] *om.* Ang. B. Ficinus inverso ordine *quod falli potest et quod non potest.*

ποτέ] *om.* Lob. Vind. B. Vat. BM.

Καλῶς, ἦν δ' ἐγώ. καὶ δῆλον] *Glau. Optime quidem. So. Constat itaque* Fic. sec. Bekkerum. In Veneta 1517. omnia Socrati, ut debent, assignantur.

ἐπιστήμης δόξα] δόξα ἐπιστή- 478
μης Ven. B. Vind. E. (Flor. C.) editi ante Bekkerum.

ὁμολογεῖται] ὁμολογῆται Bas. b.

ἄρα] *om.* Lob. Vind. B. Vat. BM.

Ἐπιστήμη μέν] ἐπιστήμην Vind. D.

γέ που ἐπὶ τῷ ὄντι, τὸ ὂν γνῶναι ὡς ἔχει; Ναί. 468
Δόξα δὲ, φαμὲν, δοξάζειν; Ναί. Ἦ ταὐτὸν, ὅπερ ἐπιστήμη γιγνώσκει; καὶ ἔσται γνωστόν τε καὶ δοξαστὸν τὸ αὐτό; ἢ ἀδύνατον; Ἀδύνατον, ἔφη, ἐκ τῶν ὡμολογημένων· εἴπερ ἐπ' ἄλλῳ ἄλλη δύναμις πέφυκε, δυνάμεις
B δὲ ἀμφότεραί ἐστον, δόξα τε καὶ ἐπιστήμη, ἄλλη δὲ ἑκατέρα, ὥς φαμέν. ἐκ τούτων δὴ οὐκ ἐγχωρεῖ γνωστὸν καὶ δοξαστὸν ταὐτὸν εἶναι. Οὐκοῦν εἰ τὸ ὂν γνωστὸν, ἄλλο τι ἂν δοξαστὸν, ἢ τὸ ὂν εἴη; Ἄλλο. Ἆρ' οὖν τὸ μὴ ὂν δοξάζει; ἢ ἀδύνατον καὶ δοξάσαι τό γε μὴ ὄν; ἐννόει δέ. οὐχ ὁ δοξάζων ἐπὶ τὶ φέρει τὴν δόξαν; ἢ

γέ] *γάρ* Par. K.

ἔχει] *ἔχῃ* Bas. a.

Δόξα] Ita Par. A. et a m. pr. D. Lob. Vind. BDEF. Vat. BHM. Ven. B. Ang. B. Flor. ACT. *δόξαν* reliqui cum editionibus ante Bekkerum.

φαμὲν] *om.* Fic. (*opinio autem opinari.*) Ante Bekkerum commata necessario aberant: *δέ φαμεν δοξ.*

Ἦ] *ἢ* Vind. F.

ὅπερ] *ὥσπερ* Par. D. a m. pr.

γιγνώσκει] *γιν.* Vind. D. Mon. B. Ald. Bas. ab. Steph. *γιγνώσκειν* Vind. F.

ἢ ἀδύνατον] *καὶ ἀδ.* Vat. B.

Ἀδύνατον] *om.* Ang. B.

ἔφη, ἐκ] *ἔφ, ηἐκ* Ald.

ὡμολογημένων] *ὁμολογημένων* Vind. E. Bekkerus, Ast. tert. et Stallb. commate hoc a sequentibus distinguunt, quae tamen epexegesin continent.

δυνάμεις] *δύναμις* Vind. E. et ante corr. F.

ἐστον] *ἐστι* Lob. Vind. B. Vat. M.

B *ὡς φαμέν*] Ita Par. A. Vind. DE. Vat. H. Flor. ACTV. Vulgo *ὥς ἔφαμεν*, quod Vind. D. in margine et reliqui libri habent et Ficinus legit: *ut est dictum.* Praeteritum magis ad illud *ἐκ τῶν ὡμολογημένων* accommodatum videtur; sed haud dubie etiam tum in ea sententia erant, cui rei significandae praesens inservit. Cf. p. 466. B. ubi res paullo evidentior et Bekkerus codicem optimum sequi non veritus est.

δὴ] *autem* Fic.

ταὐτὸν — *δοξαστὸν*] *om.* Vind. F. Pro *ταὐτὸν* Lob. *το αὐτὸ*, Vind. BD. Vat. B. *τὸ αὐτὸ* habent.

ἂν] *om.* Lob. Vat. BM. post *ὂν* ponit Vind. B.

εἴη;] *εἴη ἢ* Vind. F. *est dicendum?* Fic.

Ἆρ'] *ἄρ'* Vind. F.

οὖν] *οὐκ οὖν* Vat. H. *οὐκοῦν* Vind. E.

δοξάζει] *δοξώζει* Ald.

καὶ] *om.* Fic.

τό γε] *γε om.* Lob. Vind. BF. Mon. B. Vat. BM. Ven. C. Par. DK. Ang. B. Flor. RU.

ἐπὶ τὶ] *ἐπί* Mon. B. *ἐπί τι* reliqui mei et editi.

οἷός τε] *οἷόν τε* Vind. DEF. Mon. B. Ven. C. Par. DK. Ang. B. Vat. H. Flor. ACRTUV. Astius et Stallbaumius. *possibile est* Fic. Non caussa videtur, cur negligentius locutum Socratem statuamus.

δοξάζειν μὲν, δοξάζειν] *δοξάζει μὲν, δοξάζει* Vind. D.

γέ τι] *τέ τι* Mon. B.

δοξάζει] post *ὁ δοξάζων* Ven. B. Vind. E. Flor. C.

οἷός τε αὖ δοξάζειν μὲν, δοξάζειν δὲ μηδέν; Ἀδύνατον.
Ἀλλ' ἕν γέ τι δοξάζει ὁ δοξάζων; Ναί. Ἀλλὰ μὴν μὴ
ὄν γε οὐχ ἕν τι, ἀλλὰ μηδὲν ὀρθότατ' ἂν προσαγορεύ- C
οιτο. Πάνυ γε. Μὴ ὄντι μὴν ἄγνοιαν ἐξ ἀνάγκης ἀπέ-
δομεν, ὄντι δὲ γνῶσιν. Ὀρθῶς, ἔφη. Οὐκ ἄρα ὂν
οὐδὲ μὴ ὂν δοξάζει. Οὐ γάρ. Οὔτε ἄρα ἄγνοια οὔτε
γνῶσις δόξα ἂν εἴη. Οὐκ ἔοικεν. Ἆρ' οὖν ἐκτὸς τού-
των ἐστὶν, ὑπερβαίνουσα ἢ γνῶσιν σαφηνείᾳ ἢ ἄγνοιαν
ἀσαφείᾳ; Οὐδέτερα. Ἀλλ' ἆρα, ἦν δ' ἐγὼ, γνώσεως
μέν σοι φαίνεται δόξα σκοτωδέστερον, ἀγνοίας δὲ φα-
νότερον; Καὶ πολύ γε, ἔφη. Ἐντὸς δ' ἀμφοῖν κεῖται; D

μὴ ὄν — μηδὲν] *om.* Ang. B. Pro ὄν Lob. ὅν habet.
ὀρθότατ'] ὀρθώτατ' Vind. F.

C *Πάνυ γε.*] πανύγε. Lob. In Ald. Bas. ab. comma pro puncto est.

μὴν] μὲν Vind. E. *quidem* Fic. μὴν paullo cupidius hoc ut valde ad rem pertinens proximo iungit: ipsa quidem argumentatio sequens οὐκ ἄρα ὂν οὐδὲ μὴ ὂν δοξάζει prius et hoc loco poni iubebat.

ἐξ ἀνάγκης] εξἀν. Lob. ἐξαν. Vind. BDF.

ἀπέδομεν] ἀποδώσομεν Flor. T.
γάρ. Οὔτε] γὰρ, οὔτε Ald.
Ἆρ'] ἄρ' Vind. F.
ἐκτὸς] post τούτων Par. K.

ἐστὶν,] Comma Stallbaumius in sec. posuit.

σαφηνείᾳ — ἀσαφείᾳ] σαφῆ εἶναι — ἀσαφεία Vind. F. σαφήνεια — ἀσάφεια Par. DK. Vind. E. Vat. H. (Florentini) cum editis ante Astii sec. qui Ficino duce verum restituit. Cf. L. VI. p. 509. D.

Οὐδέτερα] Ita Par. A. Lob. Vind. BDEF. Mon. B. Ven. B. Ang. B. Vat. HM. Ald. Bas. ab. Οὐδετέρα cum reliquis Steph. et Astius in pr.

ἆρα] ἄρα Lob. Vind. BDF.

φανότερον] Ita Par. A. Vind. D. Vat. H. Flor. V. φανώτερον Mon. B. Flor. TU. φανερώτερον reliqui et editiones ante Bekkerum. Cf. p. 479. D.
γε] γ' Vind. F. Ang. B.

Ἐντὸς] Ita Par. A. Vind. DE. Ven. B. Ang. B. Vat. H. Flor. ACRTV. ἑνὸς Lob. Vind. BF. Ven. C. Par. DK. secund. Bekk. Vat. M. ἐν Vat. B. a m. s. ἐν μέσῳ Mon. B. Flor. U. quam lectionem qui olim *argumentorum vi et codicum auctoritate* veram demonstraturus erat, censor Ienensis Schützii (1808. N. 70. p. 556.) ab Astio citatus, promisso non stetit. *Εἰ* Ald. Bas. ab. Steph. Ast. pr. εἴ Ast. sec. cum commate post ἔφη, ut Glauconis sermo continuetur. Confer Vol. I. p. 417.
δ'] δὲ Vind. B. γ' Ast. sec.

ἀμφοῖν] ἀμφοῖν μεταξὺ editi ante Bekkerum et Stallbaumius in pr. ubi Flor. ACUV. μεταξὺ post ἀμφοῖν servare ostendit. In sec. idem de Flor. ACRV. et de Par. A. Ven. B. Ang. B. Vat. H. praedicat, quos libros Bekkerus satis perspicue cum reliquis omnibus μεταξὺ ignorare declaravit. Stephanus in margine ἦ δ', in annot. p. 22. τί δέ; pro εἰ δ' legi posse autumabat, quin μεταξὺ sanum esset non dubitans. D
κεῖται; Ναί.] κεῖται. Ast. sec.

Ναί. Μεταξὺ ἄρα ἂν εἴη τούτοιν δόξα. Κομιδῇ μὲν οὖν. Οὐκοῦν ἔφαμεν ἐν τοῖς πρόσθεν, εἴ τι φανείη οἷον ἅμα ὄν τε καὶ μὴ ὄν, τὸ τοιοῦτον μεταξὺ κεῖσθαι τοῦ εἰλικρινῶς ὄντος τε καὶ τοῦ πάντως μὴ ὄντος, καὶ οὔτε ἐπιστήμην οὔτε ἄγνοιαν ἐπ' αὐτῷ ἔσεσθαι, ἀλλὰ τὸ μεταξὺ αὖ φανὲν ἀγνοίας καὶ ἐπιστήμης; Ὀρθῶς. Νῦν δέ γε πέφανται μεταξὺ τούτοιν ὃ δὴ καλοῦμεν δό-
E *ξαν. Πέφανται. Ἐκεῖνο δὴ λείποιτ' ἂν ἡμῖν εὑρεῖν,*

Μεταξὺ ἄρα] „Potius fortasse scribendum *ἆρα*, quo significetur Itáne: ut post *δόξα* interrogationis nota ponatur.“ Steph. annot. p. 22. Eam notam posuerant Bas. ab. nec prorsus inepta erat, quamquam conclusioni affirmatio congruit. Sed *ἆρα* hoc loco ferri non potest. — Proclus in Tim. p. 76, 5. a fine: *καὶ αὕτη μὲν ἡ δύναμις (ἡ δόξα) λόγος οὖσα ὡς πρὸς τὴν αἴσθησιν ἄλογός ἐστιν ὡς πρὸς τὴν γνῶσιν τῶν ὄντως ὄντων· ἡ δὲ αἴσθησις ἁπλῶς ἄλογος. διὸ καὶ ἐν Πολιτείᾳ μέσον αὐτὴν τὴν δόξαν λέγων γνώσεως ἀπεφήνατο καὶ ἀγνοίας.*

τούτοιν — φανείη] *om.* Vind. E.

δόξα] *ἡ δόξα* (Flor. UV.) editi ante Bekkerum.

Κομιδῇ] *κομιδὴ* Vind. F.

ὄν τε] *οὔτε* Ald.

τοιοῦτον] *τοιοῦτο* Lob. Vind. BD. Vat. BM.

εἰλικρινῶς] Ita Lob. Vind. BDEF. Mon. B. Ald. *εἱλ.* Bas. ab. et sequentes, tacentibus de Par. K. Bip. V. ad p. 477. A.

τε] *om.* Flor. T.

πάντως] *παντελῶς* idem.

ὄντος,] *ὄντος.* Ald. *ὄντος;* Bas. ab. Steph.

οὔτε ἐπιστήμην οὔτε ἄγνοιαν] *οὔτ' ἐπ. οὔτ' ἄγν.* Lob. Vind. B. Vat. M.

τὸ] *τῶι* Lob. *τῶ* Vind. B. Vat. M.

φανὲν] *φαμὲν* Vind. D. Par. K. sec. Bekk. Bas. b.

γε] *om.* Flor. T.

τούτοιν] *τούτων* Vind. E. *τούτην* Mon. B. a m. pr.

ὃ] *ἡ* Mon. B. a m. pr. *ἣν* a m. s.

Πέφανται — ἔοικε, τὸ E.] *om.* Lob. Vind. B. Vat. BM.

δὴ] *δὲ* Ven. B. E

λείποιτ'] *λείποι τ'* Ald.

ἔοικε] *ἔοικεν* Vind. F.

εἰλικρινὲς] Ita Lob. Vind. BDF. Mon. B. Ald. *εἱλ.* Vind. E. Bas. ab. Steph. et recentiores, ut supra D.

ἵνα — προσαγορεύωμεν] Mon. B. bis deinceps scripta, sed sub prioribus puncta habet. *ut si nobis pateat, opinabile quiddam merito nuncupemus* Fic. veram interpunctionem secutus, quae Schleiermacherum non fefellit. Vulgo non post *φανῇ*, sed post *εἶναι* comma faciunt magno veritatis detrimento. Cf. p. 479. D. Vind. F. utrobique comma habet. Pro *ἵνα* in Lob. Vind. B. Vat. M. *ἵν'* exstat.

προσαγορεύωμεν] *προσαγορεύομεν* Vind. B.

ἄκροις] *ἄκροισι* Flor. V. In Vind. F. *ἄκροισ* cum commate scriptum est ita, ut parum ab *ἄκροισι* differat. Conf. Vol. I. p. 222. sq.

ἀποδιδόντες] *ἀποδιδόντι* Vind. E.

ἢ] *ἡ* Vind. B. Ald. Bas. ab.

Οὕτω.] *Οὕτως.* Bekkerus et Astius in tert. Idem est in Vind. F.

λεγέτω μοι, φήσω, καὶ ἀποκρινέσθω ὁ χρηστὸς] *percontabor eum* Ficinus, qui paullo post inter *οὕτω* et *τούτων percontabor*,

ὡς ἔοικε, τὸ ἀμφοτέρων μετέχον, τοῦ εἶναί τε καὶ μὴ εἶναι, καὶ οὐδέτερον εἰλικρινὲς ὀρθῶς ἂν προσαγορευόμενον, ἵνα ἐὰν φανῇ, δοξαστὸν αὐτὸ εἶναι ἐν δίκῃ προσαγορεύωμεν, τοῖς μὲν ἄκροις τὰ ἄκρα, τοῖς δὲ μεταξὺ τὰ μεταξὺ ἀποδιδόντες. ἢ οὐχ οὕτως; Οὕτω. Τούτων δὴ ὑποκειμένων λεγέτω μοι, φήσω, καὶ ἀποκρινέσθω ὁ χρηστὸς, ὃς αὐτὸ μὲν καλὸν καὶ ἰδέαν τινὰ αὐ- 479
τοῦ κάλλους μηδεμίαν ἡγεῖται ἀεὶ μὲν κατὰ ταὐτὰ

inquam, *hunc in modum* interposuit, liberius quidem ille, sed a mente scriptoris minime aberrans. Scilicet φήσω hic non, ut alibi et ut infra φήσομεν post ὦ ἄριστε, ipsi alloquio insertum neque ad formam verborum, sed ad argumentum et sententiam referendum esse ex eo intelligitur, quod λεγέτω et ἀποκρινέσθω, non λέγε et ἀποκρίνου circumposita habet, quibus formis compellans bonum virum Socrates necessario uti debebat, poteratque hic locus ad oppositam quandam eiusdem verbi rationem L. III. p. 415. A. illustrandam adhiberi. Itaque Socrates *his positis ad dicendum sibique respondendum excitaturum* h. e. *percontaturum* sese dicit illum, quem primum describit verbis ὁ χρηστὸς etc. usque ad τἆλλα οὕτω, deinde ut praesentem, qualem iam hic fingit, alloquitur ex descriptione petito interrogandi exordio: τούτων γὰρ δὴ, ὦ ἄριστε etc. in quibus γὰρ nihil aliud significat, nisi esse hanc continuationem sermonis iam inchoati, neque alio spectat, nisi ad haec nostra λεγέτω μοι, φήσω, καὶ ἀποκρινέσθω, quae consequentiam habere perperam negat Schleiermacherus, novam a verbis πολλὰ δὲ τὰ καλὰ structuram fieri statuens, nihil curans particulam μὲν inter αὐτὸ et καλὸν interiectam. — Pro ἀποκρινέσθω Lob. ἀποκρινέτω habet.

479 ὃς αὐτὸ] ὃς αὐτὸ, e corr. αὐτῷ, τὸ Vind. F. αὐτὸς Bas. a. quem errorem notans Stephanus „in quodam veteri libro" καὶ αὐτὸ μὲν etc. scriptum esse perhibet pag. 22. αὐτο Vind. B. sine accentu et linea infra ducta cum καλὸν iunctum habet, ut p. 476. C. αὐτο δὲ κάλλος.

τινὰ] *unam* Fic.

αὐτοῦ] αὖ τοῦ Lob. Par. DK. sec. Bekk. Vat. M. τοῦ Vind. B.

κάλλους] καὶ κάλλους Bas. b.

ἡγεῖται] ἡγῆται Vind. F. Mon. B. Ven. B. Flor. ACRUV. ἥγηται Par. DK. sec. Bekk.

ἀεὶ μὲν]. Particulam μὲν vulgo et in maiore codicum parte omissam ex Par. A. Vind. DE. Ven. B. Vat. H. Flor. ACV. recipiendam putavi, quia repetita discriminis inter id, quod esse iste negat et qualia statuit esse, intercedentis significatio minime ab hoc loco aliena neque alio modo commodius facienda, codicum autem dissensio potius praetermissionem particulae a librariis, qui eam superfluam existimarent, profectam, quam interpolationem alibi sane, ut L. VI. p. 492. A. semel et iterum, factam aut calami errorem arguere videbatur. Exemplis iterati μὲν a Dorvillio ad Charit. p. 399. sq. et p. 543. Lips. collatis non utor, quippe partim corruptis, ut huius libri p. 473. C. δοκεῖ μέν, Herodot. L. VI. c. 101. ἔπιπτον μέν, partim ita comparatis, ut utrique μὲν suum respondeat δὲ vel expressum vel cogitatione addendum, ut Leg. L. V. p. 735. D. καὶ τὰς μὲν τύραννος μὲν ὢν etc. Isocr. Paneg. p. 57. extr. Bekk. Xenoph. de venat. 13, 10. neque alterum nostro geminum

ὡσαύτως ἔχουσαν, πολλὰ δὲ τὰ καλὰ νομίζει, ἐκεῖνος ὁ φιλοθεάμων καὶ οὐδαμῇ ἀνεχόμενος, ἄν τις ἓν τὸ καλὸν φῇ εἶναι καὶ δίκαιον καὶ τἆλλα οὕτω. τούτων γὰρ δή, ὦ ἄριστε, φήσομεν, τῶν πολλῶν καλῶν μῶν τι ἔστιν, ὃ οὐκ αἰσχρὸν φανήσεται; καὶ τῶν δικαίων, ὃ οὐκ ἄδικον; καὶ τῶν ὁσίων, ὃ οὐκ ἀνόσιον; Οὔκ, ἀλλ'
B *ἀνάγκη, ἔφη, καὶ καλά πως αὐτὰ καὶ αἰσχρὰ φανῆναι, καὶ ὅσα ἄλλα ἐρωτᾷς. Τί δέ; τὰ πολλὰ διπλάσια ἦτ-*

novi; sed quod perspicuitatis gratia Phaedon. p. 108. B. factum videmus in verbis *τὴν μὲν ἀκάθαρτον καί τι πεποιηκυῖαν τοιοῦτον, ἢ φόνων ἀδίκων ἡμμένην ἢ ἄλλα ἄττα τοιαῦτα εἰργασμένην, ἃ τούτων ἀδελφά τε καὶ ἀδελφῶν ψυχῶν ἔργα τυγχάνει ὄντα, ταύτην μὲν ἅπας φεύγει*, ubi codex Augustanus alterum *μὲν* post *ταύτην* omittit, idem insigniendae et distinguendae notionis caussa h. l. fieri potuisse videtur. Hanc enim vim *μὲν* communem habet cum *γε*, quod quia solum *ἀεὶ* afficeret neque de opposito cogitari iuberet, minus aptum hic erat. Cf. Vol. I. p. 229, a. et p. 310. sq.

κατὰ ταὐτὰ] *κατὰ ταῦτα* Vind. BF. *καταταῦτα* Lob.

ὡσαύτως ἔχουσαν] *ὦ σώκρατες ἔχουσαν* Lob. Vat. M. *ἔχουσαν ὦ σώκρατες* Vind. B.

ἐκεῖνος ὁ φιλοθεάμων καὶ] Haec verba, quae Ficinus *et pulchris rebus spectandis deditus* interpretatur, in Ven. B. omissa, Astius in sec. et tert. Bekkerus et Stallbaumius in pr. uncis incluserunt; cuius suspicionis ego nullam excusationem invenio, nisi in corrupta veterum editionum interpunctione, quas illi post *ἔχουσαν* punctum vel colon, post *νομίζει* nullam incisionem, post *φιλοθεάμων* comma habentes in altero tertioque et ipsi (Stallbaumius etiam in sec.) secuti offensionem accipere potuerunt. Iam commate post *νομίζει* posito locum per se cuivis clarum fore spero.

οὐδαμῇ] *οὐδαμοῦ* Ven. B. Vind. E. Vat. H. Flor. ACTV. Bas. b. (*οὐδαμῇ* Steph.)
ἄν] *ἐάν* Par. K. sec. Bekk.

τἆλλα] *τᾶλλα* Lob. *τ' ἄλλα* Vind. E. *τἄλλα* Vind. BF. Mon. B. Steph. Ast.

τι ἔστιν] *τί ἐστιν* Lob. Vind. BDF. Mon. B. Ald. Bas. ab. *τι ἐστὶν* Steph. Ast. pr. sec.

οὐκ αἰσχρὸν] *οὐ καὶ αἰσχρὸν* Mon. B. Flor. U. *non turpe etiam* Fic.
καὶ — ἄδικον;] *om.* Vat. H.

ὁσίων] *ὁσίον* Bas. b.
ὃ] *om.* Vind. F.
ἀλλ' ἀνάγκη] *ἀλλὰ ἀνάγκη* Lob. *ἀλλανάγκη* Vind. F.

Τί δέ; τὰ πολλὰ] *τὰ δὲ τὰ πολλὰ* Vind. F. Flor. R. *τί δαὶ τὰ π.* Par. A. Vat. H. Flor. ACTV. *Τί δὲ τὰ π.* Ald. Bas. ab. *δὲ* Ficinus omisit. B

ἡμίσεα] *ἡμίσυα* Vind. F.
διπλάσια] *διπλασία* idem.
δὴ] *δὲ* Flor. T.
μᾶλλον ἃ] *ἄλλο ὃ* Vind. E.

φήσωμεν] *φήσομεν* Vind. F. Flor. R. Ald. Bas. ab. *ἃ ἂν φήσωμεν, ταῦτα* Ficinus *talia* interpretatus est.

τἀναντία] *τοὐναντία* Vind. E.

Οὔκ, ἀλλ' ἀεὶ] *οὐκ ἄλλα εἰ* Vind. F.

τόν τι ἡμίσεα, ἢ διπλάσια φαίνεται; Οὐδέν. Καὶ μεγάλα δὴ καὶ σμικρὰ καὶ κοῦφα καὶ βαρέα μή τι μᾶλλον ἃ ἂν φήσωμεν, ταῦτα προσρηθήσεται, ἢ τἀναντία; Οὔκ, ἀλλ' ἀεί, ἔφη, ἕκαστον ἀμφοτέρων ἕξεται. Πότερον οὖν ἔστι μᾶλλον, ἢ οὐκ ἔστιν ἕκαστον τῶν πολλῶν τοῦτο, ὃ ἄν τις φῇ αὐτὸ εἶναι; Τοῖς ἐν ταῖς ἑστιάσεσιν, ἔφη, ἐπαμφοτερίζουσιν ἔοικε καὶ τῷ τῶν παί- C
δων αἰνίγματι, τῷ περὶ τοῦ εὐνούχου τῆς βολῆς πέρι

ἕξεται] ἔχεται Vind. F. et cum ξ super χ Ang. B.

οὖν] om. Fic.

ἔστι] ἐστι Vind. BD. Ald. Bas. ab. Steph. ἐστὶ Vind. F. Ast. pr. sec.

τοῦτο] τοὺς Bas. b.

ταῖς] ταῖ Ald.

ἑστιάσεσιν] ἑστ. Mon. B.

C ἐπαμφοτερίζουσιν] Timaeus lex. p. 107: ἐπαμφοτερίσαι· εἰς ἀμφιβολίαν ἀγαγεῖν τὸν λόγον. quam glossam Ruhnkenius ad verba Euthyd. p. 300. D. ὁ ἀδελφός σου ἐξημφοτέρικε τὸν λόγον, in quibus Timaeus ἐπημφοτέρικε legerit, pertinere ostendens verissime ad nostrum locum ineptam esse innuit. Nam ut possit ἐπαμφοτερίζειν transitivam significationem habere, quam lexicon Bekkeri anecd. p. 258, 4. ei tribuit, ἐπαμφοτερίσαι τὸ τὰ σαφέστερα εἰς ἀμφίβολον περιστῆσαι iisdem verbis, quibus Etymologicum ἐξαμφοτερίσαι, interpretans, hic certe intransitivum est et ambiguas enuntiationes ipsas eandem rem negantes atque affirmantes et in conviviis ioci caussa proponi solitas denotat, quale aenigma de eunucho est, quod exempli loco subiicitur, τὸ συμποσιακὸν ἐκεῖνο γριφῶδες πρόβλημα, ut Eustathius in Il. T. II. p. 209, 7. Lips. appellat. Verum tamen fieri potuit, ut Timaeus secus statueret et generis indicio ancipiti, quod plerumque ad masculinum spectare solet, deceptus τοῖς ἐπαμφοτερίζουσιν pro masculino haberet et verbum, ut iam debebat, transitiva potestate praeditum atque eodem fere modo, quo in Euthydemo, explicandum putaret. Simile quid Athenaeo accidisse videmus, qui L. X. p. 452. C. hoc ipsum aenigma, Panarcis secundum Clearchum inventum, a Platone in quinto *Legum* commemorari his verbis scribit: τοὺς τῶν τεχνυδρίων φιλοσόφους (ex huius libri p. 475. E.) τοῖς ἐν ταῖς ἑστιάσεσιν ἔφη ἐπαμφοτερίζουσιν ἐοικέναι καὶ τῷ τῶν παίδων αἰνίγματι, τῷ περὶ τοῦ εὐνούχου τῆς βολῆς πέρι τῆς νυκτερίδος, ᾧ καὶ ἀφ' οὗ αὐτὸν αὐτὴν (id cod. Pal. et ed. pr. omittunt) αἰνίττονται βαλεῖν.

ἔοικε] ὡς ἔοικε Lob. Vind. B. Vat. M.

αἰνίγματι, τῷ] αἰνίγματι ἔοικε iidem et Vat. B.

τοῦ] τῶν Vind. E.

βολῆς] βουλῆς Ald. Bas. ab. quod praeeunte Ficino et in ecl. p. 100. Cornario correxit Stephanus.

πέρι] περὶ codices a me visi et editiones ante Bekkerum. Stephanus in annot. pag. 22. ubi ab Eustathio ad Il. l. c. exhibitam aenigmatis solutionem celato auctoris nomine proponit, περὶ, quod antea inter τῆς et νυκτερίδος collocari voluerat, plane tollendum censet, eumque Astius in

τῆς νυκτερίδος, ὥς καὶ ἐφ' οὗ αὐτὸν αὐτὴν αἰνίττονται βαλεῖν· καὶ γὰρ ταῦτα ἐπαμφοτερίζειν, καὶ οὔτ' εἶναι οὔτε μὴ εἶναι οὐδὲν αὐτῶν δυνατὸν παγίως νοῆσαι οὔτ' ἀμφότερα οὔτε οὐδέτερον. Ἔχεις οὖν αὐτοῖς, ἦν δ' ἐγώ,

prima ed. secutus est ita, ut simul καὶ ante τῆς βολῆς insereret, cuius additamenti auctorem Ficinum habere putans Grynaeum habebat, qui illius interpretationem *aenigmati puerorum circa eunuchum de vespertilionis percussione* in *aen. puer. de eunucho et vespertilionis percussione* mutavit. In sec. Stephanum simpliciter sequi maluit, in contextu tamen εὐνούχου βολῆς καὶ περὶ τῆς νυκτ. posuit, partim Cornario duce, qui τῷ περὶ τῆς τοῦ εὐνούχου βολῆς, καὶ περὶ τῆς νυκτ. scribendum coniecit. Nihil praeter accentum mutandum esse primus, quod sciam, Benedictus ostendit in Coniecturis a. 1805. editis p. 11. atque ita scripserunt Bekkerus, Ast. tert. et Stallb. Cf. Bernhardy synt. pag. 163. et pag. 201.

ὥς] *om.* Par. K. sec. Bip. ᾧ Flor. ACRTV. Vind. DEF. Ang. B. Vat. H. Athen. Astius in sec. et tert. et Stallbaumius. Idem ex Athenaeo recipiendum statuerat Stephanus annot. p. 22. secutusque est Schleiermacherus ea ratione, quod Plato simpliciorem aenigmatis formam praeter eunuchum et vespertilionem nihil nisi fruticem, ut ipse interpretatur, et pumicem continentem respexisse videatur. Sed hoc ipsum illud est, de quo dubitatur. Quamquam enim simplicissimum quodque in hoc genere idem et antiquissimum esse a vero non abhorret ideoque eam formulam non immerito primam dixeris, quam Athenaeus ante verba supra relata et scholion alterum ad nostrum locum et Suidas in αἶνος exhibent, tamen Platoni secundam in priori scholio et in fine Anthologiae exstantem atque ab Eustathio l. c. et ab anonymo περὶ τρόπων pag. 7. sq. (Musei crit. Vratislav. 1820.) explicatam nondum cognitam aut respectu non dignam visam fuisse pro certo affirmari nequit. Athenaei verba haec sunt: καὶ τὸ Πανάρκους δ' ἐστὶ τοιοῦτον, ὥς φησι Κλέαρχος ἐν τῷ περὶ γρίφων, ὅτι βάλοι ξύλῳ τε καὶ οὐ ξύλῳ καθημένην ὄρνιθα καὶ οὐκ ὄρνιθα ἀνήρ τε καὶ οὐκ ἀνὴρ λίθῳ τε καὶ οὐ λίθῳ. τούτων γάρ ἐστι τὸ μὲν νάρθηξ, τὸ δὲ νυκτερὶς, τὸ δὲ εὐνοῦχος, τὸ δὲ κίσσηρις. καὶ Πλάτων δ' ἐν πέμπτῳ Νόμων μνημονεύει· τοὺς τῶν τεχνυδρίων etc. Hic si nihil praetermisit, hosce versus ante oculos habere potuit, quos ex margine Par. A. a Ruhnkenio et Bekkero editos secundum Broendstedii emendationem in Bredovii Epistolis Parisiensibus pag. 132. propositam subscripsi: Ἄνθρωπος οὐκ ἄνθρωπος, ἄνθρωπος δ' ὅμως, Ὄρνιθα κοὐκ ὄρνιθ', ὅμως ὄρνιθα δὲ, Ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην Λίθῳ βαλών με κοὐ λίθῳ διώλεσεν. quorum fortasse primo praefixus erat is, qui loco primi apud Suidam est: Αἶνός τις ἔστιν, ὥς ἀνήρ τε κοὐκ ἀνήρ, extremus autem idem, quem Suidas extremum ponit: Λίθῳ τε κοὐ λίθῳ βαλὼν διώλεσεν. Secunda formula in priori scholio haec est: Κλεάρχου γρῖφος· Αἶνός τις ἔστιν, ὥς ἀνήρ τε κοὐκ ἀνήρ Ὄρνιθα κοὐκ ὄρνιθ' ἰδών τε κοὐκ ἰδὼν Ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην Λίθῳ τε κοὐ λίθῳ βάλοι τε κοὐ βάλοι. in quibus tertio versui assutum τε κοὐ καθημένην quamvis ab Eustathio et anonymo receptum et in margine codicis Mon. B. (ἀνὴρ κοὐκανὴρ, ὄρνιν κοὐκ-

ὅτι χρήσῃ, ἢ ὅποι θήσεις καλλίω θέσιν τῆς μεταξὺ οὐσίας τε καὶ τοῦ μὴ εἶναι; οὔτε γάρ που σκοτωδέστερα μὴ ὄντος πρὸς τὸ μᾶλλον μὴ εἶναι φανήσεται οὔτε φανότερα ὄντος πρὸς τὸ μᾶλλον εἶναι. Ἀληθέστατα, D

ὄρνιν, καθημένην κοὐκαθημένην. βάλε κοὐβάλε. λίθῳ κοὐλίθῳ.) etiam reliquis duobus tamquam magis ad rem pertinens praelatum, iure delerunt Broendstedius et Bekkerus, neque in suo exemplari invenit Brunckius. In hac igitur sex habes ἐπαμφοτερίζοντα non inepte composita, quorum dimidiam partem Plato unico illo ὡς breviter et tamen intelligentibus satis perspicue significare potuit, instrumentum dico et conditionem iacientis et eventum. Itaque quum codices optimi eam particulam praebeant, non solum auctoritas eorum observanda, sed etiam res dubia secundum eos decernenda et notitia alterius formulae Platoni adiudicanda videtur.

καὶ ἐφ' οὗ] κε ἐφου Lob. κέπφου Vind. B. Vat. M. καὶ φάντες Par. DK. φάντες Mon. B. Flor. U.

αἰνίττονται βαλεῖν] βαλεῖν αἰνίττονται καὶ οὐ βαλεῖν Mon. B. Flor. U.

ταῦτα] καὶ ταῦτα Mon. B.

ἐπαμφοτερίζειν] Ita Mon. B. sed cum duobus punctis sub ν. ἐπαμφοτερίζει Vind. E. Astius in sec. et tert. Stallbaumius in pr. et Schleiermacherus. (*haec enim*) *ambigua sunt* Fic. Infinitivus a verbo ἔοικε pendet, quod non ita multo ante item post ἐπαμφοτερίζουσιν positum hic eo facilius intelligitur; nisi forte mavis ex sequente δυνατὸν colligere cognatum ἀνάγκη loquentis animo obversatum infinitivi caussam exstitisse. Stallbaumius ex verbo αἰνίττονται per zeugma οἴονται vel simile quoddam intelligendum statuit, quasi haec vulgaris quaedam multorum opinio, non ex ipsis penetralibus Platonicae philosophiae deprompta sententia sit.

αὐτῶν] αὐτὸ Vind. F. Ang. B. Flor. R.

δυνατὸν] om. Vind. D.

παγίως] Nescio an non casu acciderit, quod Phrynichus Bekkeri anecd. p. 41, 16. in explicando verbo ἐπαμφοτερίζειν hoc ipso vocabulo usus est: τὸ μὴ παγίως ἕν τι βουλεύεσθαι καὶ πράττειν, ἀλλὰ καὶ τόδε καὶ τόδε διανοεῖσθαι.

νοῆσαι] *responderi* Fic.

οὔτ'] οὔτε Vind. DF. Flor. AC.

οὔτε] οὔτ' Lob. Vind. B. Vat. M.

οὐδέτερον] οὐδέτερα Mon. B.

οὖν] om. Fic.

χρήσῃ] χρήσει Astius, Bekkerus et Stallbaumius.

ὅποι] ὅπῃ Lob. Vind. BDEF. Vat. BM. Ang. B. Flor. RT. ὅπου Par. DK. Mon. B. Flor. U.

θήσεις] θείσεις Bas. ab.

σκοτωδέστερα] σκοτωδεστέρα Vind. F. *obscurior* Fic.

μὴ ὄντος] τοῦ μὴ ὄντος Mon. B.

πρὸς — φανήσεται] om. idem.

μὴ εἶναι — μᾶλλον D.] om. Lob. Vind. B. Vat. BM. Ven. C. Par. DK. Flor. U.

φανότερα] Ita Par. A. Ven. B. Vind. E. Vat. H. Flor. AC. φανώτερα Mon. B. Flor. V. Ald. Bas. ab. Idem et paullo post ὄντας pro ὄντος in Ven. C. legi D

ἔφη. Εὑρήκαμεν ἄρα, ὡς ἔοικεν, ὅτι τὰ τῶν πολλῶν πολλὰ νόμιμα καλοῦ τε πέρι καὶ τῶν ἄλλων μεταξύ που κυλινδεῖται τοῦ τε μὴ ὄντος καὶ τοῦ ὄντος εἰλικρινῶς. Εὑρήκαμεν. Προωμολογήσαμεν δέ γε, εἴ τι τοιοῦτον φανείη, δοξαστὸν αὐτὸ, ἀλλ' οὐ γνωστὸν δεῖν λέγεσθαι, τῇ μεταξὺ δυνάμει τὸ μεταξὺ πλανητὸν ἁλισκόμενον.
E Ὡμολογήκαμεν. Τοὺς ἄρα πολλὰ καλὰ θεωμένους, αὐτὸ δὲ τὸ καλὸν μὴ ὁρῶντας μηδ' ἄλλῳ ἐπ' αὐτὸ ἄγοντι δυναμένους ἕπεσθαι, καὶ πολλὰ δίκαια, αὐτὸ δὲ τὸ δίκαιον μὴ, καὶ πάντα οὕτω, δοξάζειν φήσομεν ἅπαντα, γιγνώσκειν δὲ ὧν δοξάζουσιν οὐδέν. Ἀνάγκη, ἔφη. Τί

perhibet Astius in sec. quem codicem Bekkerus haec omnia omittere testatur. Fortasse in margine scriptam habet lectionem Aldinam. φανερώτερα reliqui codices, Steph. Ast. pr. sec. ut p. 478. C. *clarior* Fic. perperam utrumque comparativum ad θέσιν referens.

ὄντος] ὄντως Ald. Bas. ab. τοῦ ὄντος idque ante φανώτερα Mon. B.

νόμιμα] νόμημα Vind. E.

τοῦ τε μὴ ὄντος καὶ τοῦ ὄντος εἰλικρινῶς. Εὑρήκαμεν.] Vind. E. (Ven. B.) Flor. AC. et editiones ante Bekkerum: τοῦ τε ὄντος καὶ τοῦ μὴ ὄντος. Εἰλικρινῶς εὑρήκαμεν. Nec aliter Ficinus: *(media inter) omnino ens et omnino non ens volvuntur. Glau. Invenimus plane.* Bekkerus mutata secundum codices negationis sede interpunctionem eam, quam in Mon. B. et fortasse in aliis viderat, adhibuit et locum in integrum restituit. In Vind. F. neque post ὄντος neque ante Εὑρήκαμεν interpunctio est. εἰλικρινῶς ego secundum Lob. Vind. BDF. Mon. B. Ald. scripsi. V. ad p. 477. A.

τοιοῦτον] τοῦτον Ven. C. τούτων Lob. Vind. BD. (hic vulg. in m.) Vat. BM. Par. DK. Mon. B. Flor. U.

λέγεσθαι] λεγέσθω Par. K. sec. Bip.

τῇ μεταξὺ] His praepositum in editis ante Bekkerum καὶ unus Par. D. a m. s. habet expressitque an sua sponte inseruit Ficinus: *et cum medium pervagetur, media comprehendi potentia.* In appositione, cuius haec instar sunt, neque καὶ ferri, neque ἅτε, quod Stallbaumius pro eo desiderat, desiderari debet.

πλανητὸν] πλανητῶν Vind. E.

ἁλισκόμενον.] ἁλισκόμενον; Lob. Vind. B.

Ὡμολογήκαμεν] ὡμολογήσαμεν Ven. B. cum editis ante Bekkerum.

πολλὰ καλὰ] *pulchra haec multa* Fic.

δὲ τὸ καλὸν] δὴ τὸ κ. Lob. Vind. B. Vat. M. et a m. pr. B. E

ἄλλῳ] ἄλλο Vind. F.

τὸ δίκαιον] καὶ δίκαιον Ang. B.

πάντα] *alia* Fic.

φήσομεν ἅπαντα,] φήσομεν; ἅπαντα. Lob. Vind. B. φήσομεν: ἅπαντα: Vind. D.

γιγνώσκειν] γιν. Vind. E.

οὐδέν.] οὐδεν; Lob. Vind. B.

Τί δὲ αὖ τοὺς] Stephanus et Astius in pr. et sec. post αὖ signum interrogandi, deinde post ὄντα cum Ald. Bas. ab. comma

δὲ αὖ τοὺς αὐτὰ ἕκαστα θεωμένους καὶ ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ὄντα; ἆρ' οὐ γιγνώσκειν, ἀλλ' οὐ δοξάζειν; Ἀνάγκη καὶ ταῦτα. Οὐκοῦν καὶ ἀσπάζεσθαί τε καὶ φιλεῖν τούτους μὲν ταῦτα φήσομεν, ἐφ' οἷς γνῶσίς ἐστιν, ἐκείνους δὲ, ἐφ' οἷς δόξα; ἢ οὐ μνημονεύομεν, ὅτι φω- 480
νάς τε καὶ χρόας καλὰς καὶ τὰ τοιαῦτα ἔφαμεν τούτους φιλεῖν τε καὶ θεᾶσθαι, αὐτὸ δὲ τὸ καλὸν οὐδ' ἀνέχεσθαι ὥς τι ὄν; Μεμνήμεθα. Μὴ οὖν τι πλημμελήσομεν φιλοδόξους καλοῦντες αὐτοὺς μᾶλλον, ἢ φιλοσόφους; καὶ ἆρα ἡμῖν σφόδρα χαλεπανοῦσιν, ἂν οὕτω λέγωμεν; Οὔκ, ἄν γ' ἐμοὶ πείθωνται, ἔφη· τῷ γὰρ ἀλη-

posuerunt. Pro δὲ in Par. A. Vat. H. Flor. ACV. δαὶ legitur, Stephanus et recentiores δ' habent. δὲ non solum in Lob. Vind. DEF. Flor. U. Ald. Bas. ab. sed etiam in Vind. B. Mon. B. exstat, quod tacens Bekkerus idem in aliis neglexerit. Quamquam de Par. K. Bipontini quoque tacent, et Flor. RT. cum Stephano facere videntur. Pro αὖ τοὺς Lob. Vind. BF. αὐτοὺς exhibent.

καὶ ἀεὶ] καὶ *om.* Fic.

ταὐτὰ] Ita Lob. Vind. BDEF. Vat. BHM. Ven. B. Ang. B. Flor. ACV. τὰ αὐτὰ reliqui cum editionibus ante Bekkerum. Conf. Vol. I. p. LVIII.

οὐ] Ita Mon. B. a m. pr. οὖν a m. s. *om.* Ven. B.

γιγνώσκειν] γιν. Vind. D. (Flor. RU.) Ald. Bas. ab. Steph. δοξάζειν Flor. T.

ἀλλ' οὐ] ἀλλὰ μὴ Lob. Vind. BD. Vat. M. ἀλλὰ Vat. BH. Vind. E. Flor. ACTV.

δοξάζειν] γιγνώσκειν Flor. T.

Οὐκοῦν — ταῦτα] *om.* Vind. E.

καὶ ἀσπάζεσθαι] καὶ *om.* Fic.

480 δὲ ἐφ'] δ' ἐφ' Vind. F. Ang. B.

καλὰς] τινὰς Vind. DE. Vat. H. Flor. ACV. (*colores*) *quosdam* Fic.

τοιαῦτα] τοιαῦτ' Vind. F. Ang. B. Vat. H. Flor. ACV.

πλημμελήσομεν] Ita Vindob. BDEF. Mon. B. Ven. C. Ang. B. Vat. H. Flor. RTU. et corr. Par. A. πλημμελήσωμεν reliqui cum editis ante Astium, qui in pr. ed. secundum Ven. C. et Stephani coniecturam in margine propositam verum restituit.

καλοῦντες] post αὐτοὺς Lob. Vind. BD. Vat. BM. Flor. T.

καὶ] κἂν Ven. B. Bas. b. Ast. pr.

ἆρα] Ita Vind. F. Flor. RT. et correctus in accentu Mon. B. Reliqui mei et Flor. cum editis ante Bekkerum ἄρα habent, quod Stephanus in m. cum illo permutandum aut κἂν ἄρα, quod in quibusdam exemplaribus sit, scribendum censebat. Ficinus pro utroque *quanquam* posuit.

χαλεπανοῦσιν] χαλεπαινοῦσιν Vind. D. et ante corr. F.

λέγωμεν;] Ita Mon. B. λέγωμεν. editi ante Astii sec.

ἄν γ' ἐμοὶ] Ita Ven. B. Vind. DE. Vat. H. Flor. ACTV. ἄν γέ μοι reliqui editique ante Bekkerum. Cf. Vol. I. p. 7.

πείθωνται] πείθονται Vind. F. et, sup. ω, E.

θεῖ χαλεπαίνειν οὐ θέμις. Τοὺς αὐτὸ ἄρα ἕκαστον τὸ ὂν ἀσπαζομένους φιλοσόφους, ἀλλ' οὐ φιλοδόξους κλητέον; Παντάπασι μὲν οὖν.

ἀσπαζομένους] *qui — admirantur et diligunt* Fic.

κλητέον;] Ita Lob. *κλητέον.* editi ante Bekkerum.

οὖν.] *οὖν. οἱ μὲν δὴ φιλόσοφοι: ἦν δ' ἐγώ:* Vind. F.

Τέλος πολιτειῶν ε': Lob. *τέλ:* ε. Vind. D. a m. s. *Τέλος τοῦ πολιτειῶν, ἢ περὶ δικαίου πέμπου* (*πέμπτου* Bas.) *λόγου.* Ald. Bas. ab.

ΛΟΓΟΣ ΕΚΤΟΣ.

469 Οἱ μὲν δὴ φιλόσοφοι, ἦν δ' ἐγώ, ὦ Γλαύκων, καὶ οἱ 484
μὴ διὰ μακροῦ τινὸς διεξελθόντος λόγου μόγις πως ἀνεφάνησαν, οἵ εἰσιν ἑκάτεροι. Ἴσως γάρ, ἔφη, διὰ βραχέος οὐ ῥᾴδιον. Οὐ φαίνεται, εἶπον. ἐμοὶ γοῦν ἔτι

Πλάτωνος πολιτειῶν, .ςτ. Lob. πολιτειῶν λόγος ἕκτος Vind. B. ς. Vind. E. ἕκτος: Vind. F. Flor. R. πλάτωνος πολιτειῶν ἕκτη Mon. B. Flor. U. (πολιτιῶν hic.) ΠΛΑΤΩΝΟΣ ΠΟΛΙΤΕΙΩΝ, Η ΠΕΡΙ ΔΙΚΑΙΟΥ ΛΟΓΟΣ ΕΚΤΟΣ. Ald. Bas. ab. Flor. ACV. ΠΟΛΙΤΕΙΩΝ ΔΙΑΛΟΓΟΣ ἕκτος Stephan. ς Bekkerus et Stallb. pr.

484 Οἱ] ι Vind. E.

διὰ] *om.* Ven. B. a m. pr.

μακροῦ] μικροῦ Vat. H. Flor. AC.

διεξελθόντος] διεξελθόντες Vind. F. Ang. B. Flor. R. Astius in sec. ed. cuius in *addendis* nominativum hunc absolutum statuit, refragante verborum dispositione. διεξεληλυθότος Mon. B. Flor. U. quamquam hunc Stallbaumius in pr. ed. διεξελυθότος, in secunda ἐληλυθότος, quam lectionem Bekkerus e Monacensi perperam refert, exhibere demonstrat.

λόγου] τοῦ λόγου Vind. E. (Ven. B. Vat. H. Flor. ACT.) cum editionibus ante Astii sec. Articulum Stallbaumius, qui διεξελθόντος non a praepositione διὰ regi, sed absolute positum esse et λόγον ipsum διὰ μακροῦ τινὸς διεξελθεῖν dici putaret, omittere non debebat. Sed pronomen quoque τινὸς isti interpretationi obstat. Mihi διὰ ut in Glauconis responso, ita in his Socratis verbis id significare videtur, cuius quasi adminiculo non sine labore effectum esset, ut philosophorum indoles tandem appareret. Nec frustra additum est διεξελθόντος. Non prius enim apparuerat, quam ad finem pervenisset longa disputatio.

πως] που Vind. B.

ἀνεφάνησαν] ἂν ἐφάνησαν Vind. F.

οἵ] Ita Par. A. et a m. pr. Ven. C. quos secutus est Bekkerus. Reliqui codices editionesque οἷοί exhibent, cuius interdum loco ὅς poni a Platone Heindorfius ad Phaedr. §. 46. demonstravit. Aliud exemplum est infra p. 493. B. et L. VIII. p. 559. A: προελώμεθα δή τι παράδειγμα ἑκατέρων (ἐπιθυμιῶν) αἵ εἰσιν, ἵνα τύπῳ λάβωμεν αὐτάς; et Menon. p. 92. C: τούτους γοῦν οἶδα, οἵ εἰσιν. ubi secundum unum Coisl. parum constanter οἷοι praeferentem Bekkerum merito deseruit Buttmannus. Cf. Hermannus ad Soph. Ai. 1238. — Ficinus: *Quales philosophi sint, et quales qui alieni a philosophia, o Glauco, vix tandem longa oratione constitit.* Is quidem οἷοι legisse videtur, sed eius auctoritas nihil contra illos codices valet.

γοῦν] οὖν Vind. E. *vero* Fic.

δοκεῖ ἂν βελτιόνως φανῆναι, εἰ περὶ τούτου μόνου ἔδει ῥηθῆναι, καὶ μὴ πολλὰ τὰ λοιπὰ διελθεῖν μέλλοντι κα-
B τόψεσθαι, τί διαφέρει βίος δίκαιος ἀδίκου. Τί οὖν, ἔφη, τὸ μετὰ τοῦτο ἡμῖν; Τί δ' ἄλλο, ἦν δ' ἐγώ, ἢ τὸ ἑξῆς; ἐπειδὴ φιλόσοφοι μὲν οἱ τοῦ ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχοντος δυνάμενοι ἐφάπτεσθαι, οἱ δὲ μή, ἀλλ' ἐν πολλοῖς καὶ πάντως ἴσχουσι πλανώμενοι οὐ φιλόσοφοι, ποτέρους δὴ δεῖ πόλεως ἡγεμόνας εἶναι; Πῶς οὖν λέγοντες ἂν αὐτό, ἔφη, μετρίως λέγοιμεν; Ὁπότεροι ἄν,

δοκεῖ] δοκοῖ Lob. Vind. B. Vat. BM. et a m. s. Ven. B.

βελτιόνως] Ita Par. A. Mon. B. Ang. B. Vat. H. Flor. ACRTUV. et a m. sec. Vind. F. βελτιὸνος cum ω super ο Vind. E. βέλτιον ὡς Ven. C. Par. DK. et a m. pr. Vind. F. βέλτιον reliqui codices cum editis ante Bekkerum et Astio in tert. Cf. Buttmannus gramm. II. p. 269. qui tamen Alcib. I. p. 127. E. βελτιόνως σχήσομεν a Bekkero ex uno Coisl. pro βέλτιον σχ. receptum recte non admisit.

τούτου μόνου] μόνου τούτου Vind. F. Ang. B. Flor. R. τοῦτο μόνον Lob. Vind. B. Vat. M.

πολλὰ τὰ] πολλάττα Par. K. sec. Bekk. πόλλ' ἅττα Mon. B.

μέλλοντι] μᾶλλόν τι Flor. RT.

B βίος] post δίκαιος Vind. B. Vat. M.

τὸ] *om.* iidem et Lob. το Mon. B.

μετὰ τοῦτο] μετατοῦτο Vind. B. Mon. B. Ald. Bas. ab.

δ'] *om.* Fic.

τὸ ἑξῆς] το εξῆς Lob. τὸ ἐξῆς Ald. Bas. ab. Hoc internam, μετὰ τοῦτο contra ac Rückertus ad Symp. pag. 27. statuit, externam consequentiam significat.

ταὐτὰ] ταῦτα Lob.

ὡσαύτως] ὡσαύτος Mon. B. a m. pr.

δυνάμενοι] διανοούμενοι Vind. E.

ἐφάπτεσθαι] ἅπτεσθαι Flor. T.

